UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXIV. De Narse Magistro militum & de ejusdem pietate.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

A

## Κεφ. κγ'.

Ὡς καὶ οἱ τὸν τάναϊν οἰκοῦντες, τηνικαῦτα ἐχριστιάνισαν· καὶ περὶ σεισμῶν ἐν ἑλλάδι καὶ ἀχαΐᾳ γεγονότων.

Ἱστόρηται τῷ αὐτῷ ἀνδρὶ, ὡς οἱ τὸν τάναϊν οἰκοῦντες, τάναϊν δὲ καλοῦσιν οἱ ἐπιχώριοι τὴν ἐκ τῆς λίμνης τῆς μαιώτιδος ἐκβολὴν ἄχρις ἐς τὸν εὔξεινον πόντον, ἰουστινιανὸν δυσωποῦσιν, ἐπίσκοπον σφίσιν ἐκπέμψαι, ἐπιμελῆ τε τὴν δέησιν ἰουστινιανὸν ἀπεργάσασθαι, καὶ ἱερέα αὐτοῖς ἥδιστα πέμψαι. ἀναγράφει δὲ μάλα λογίως ὁ αὐτὸς, ὑπὸ τοῖς ἰουστινιανοῦ χρόνοις, γότθον τὴν ἀπὸ τῆς μαιώτιδος ἐκδρομὰς κατὰ τῆς ῥωμαίων γῆς, σεισμούς τε ἐξαισίους ἀνὰ τὴν ἑλλάδα γενέσθαι, τήν τε βοιωτίαν καὶ ἀχαΐαν καὶ τὰ περὶ κόλπον τὸν κρισαῖον κατασεισθῆναι, καὶ χωρία ἀνάριθμα καὶ πόλεις ἐς ἔδαφος ἐνεχθῆναι, καὶ χάσματα τῆς γῆς πολλαχόσε γενέσθαι καὶ ἐνιαχῆ μὲν αὖθις ἐς ταυτὸν συνελθεῖν. ἐνιαχοῦ δὲ μεμενήκασι.

## Cap. XXIII.

*Quomodo etiam Barbari qui Tanaim accolunt, Christianam religionem amplexi sint. Item de terræ motibus qui in Græcia & Achaia contigerunt.*

Refertur etiam ab eodem Scriptore, accolas Tanais; Tanaim autem vocant indigenæ effluxum Mæotidis paludis in Euxinum mare: postulasse à Justiniano, ut Episcopum ad ipsos mitteret, Justinianum verò, petitionem eorum ad exitum perduxisse, & sacerdotem libentissime ad eos direxisse. Idem Procopius eleganter ad-
B modum narrat, quomodo Gothi principatu ejusdem Justiniani, ex palude Mœotide in fines Romanorum irruperint, & quemadmodum Græcia gravissimis terræ motibus concussa fuerit; Bœotia item & Achaia, & loca quæ sunt circa sinum Crissæum quassata: innumera denique oppida atque urbes solo æquatæ sint. Terræ quoque hiatus plurimis in locis exstitisse scribit: & alicubi quidem terram rursus in unum coivisse: alibi vero hiatus illos permansisse.

## Κεφ. κδ'.

Περὶ ναρσοῦ τοῦ στρατηγοῦ καὶ θεοφιλείας αὐτοῦ.

Γράφει καὶ τὴν ναρσοῦ στρατηγίαν, σταλέντος πρὸς ἰουστινιανοῦ πρὸς τὴν ἰταλῶν χώραν, ὅπως τε τὸν τώτιλαν καταγωνίσατο, καὶ μετὰ τοῦτον, τείαν· καὶ ὡς ῥώμη πέμπτον ἑάλω· φασὶ τοίνυν οἱ συγγενόμενοι τῷ ναρσῇ, ὡς οὕτω τὸ θεῖον λιταῖς τε καὶ ἄλλαις εὐσεβείαις ἐξοσιοῦτο, τὰ εἰκότα γεραίρων καὶ τὴν παρθένον καὶ θεοτόκον, ὡς ἀναφανδὸν αὐτὴν οἱ διακελεύεσθαι τὸν καιρὸν ὅτε πολεμεῖν δέοι· καὶ μὴ πρότερον χρεὼν ἄρχειν, πρὶν ἂν ἐκεῖθεν τὸ σύνθημα λάβοι. πέπραχθαι δὲ καὶ ἕτερα τῷ ναρσῇ, λόγου πολλοῦ ἄξια, βουσελῖνον καὶ σινδούαλδον καταπολεμήσαντι, καὶ τὰ πολλὰ προσκτησαμένῳ μέχρις ὠκεανοῦ. ἅπερ ἀγαθίᾳ μὲν γέγραπται τῷ ῥήτορι, οὔπω δὲ ἐς ἡμᾶς ἀφῖκται.

## Cap. XXIV.

C *De Narse Magistro militum, & de ejusdem pietate.*

Narrat præterea res à Narsete gestas, quem Justinianus in Italiam miserat: & qua ratione is Totilam, ac deinde Tejam superaverit, & quomodo urbs Roma quintùm capta sit. Porro qui cum Narsete familiariter versati sunt, eum supplicationibus ac reliquis pietatis officiis divinum numen usque adeo coluisse, & debitum Deiparæ honorem tam studiose exhibuisse ajunt, ut illa tempus ei manifeste indicaret, quo pugna committenda es-
D set: nec prius unquam prælium iniret Narses, quam signum ab illa accepisset. Alia quoque multa ab eodem Narsete gesta sunt, maximâ laude digna: quippe qui Buselinum & Sindualdum debellaverit, multasque regiones ad Oceanum usque, Romanæ ditioni adjunxerit. Quæ Agathias quidem rhetor literis mandavit: nondum tamen nancisci potuimus.